μένος παντὸς ἐκκλησιαστικοῦ καὶ ἐνοριακοῦ αὐτοῦ εἰσοδήματος, καὶ μηδεὶς ἔχῃ αὐτὸν ἐν ἱερέως τιμῇ καὶ τάξει ἢ ὅλως ὡς ἱερέα αὐτὸν τιμῆσαι ἐν ἀργίᾳ καὶ ἀφορισμῷ, ἡ δὲ θεία αὐτοῦ ἀφωρισμένη ἀπὸ θεοῦ καὶ κατηραμένη καὶ ἀσυγχώρητος καὶ ἄλυτος μετὰ θάνατον καὶ ἔξω τῆς Χριστοῦ ἐκκλησίας, ἕως οὗ παυσάμενοι τοῦ ἐνοχλεῖν αὐτὸν τύχωσι συγχωρήσεως. πρὸς τούτοις ἐχέτω ἄδειαν ὁ Ἰγνάτιος αὐτὸς οἵῳ τρόπῳ εὐλόγῳ δυνηθῇ παιδεῦσαι αὐτὸν τῇ ἐκκλησίᾳ μὴ πειθόμενον παρ' οὐδενὸς ἐναντιούμενος. οὕτω γένοιτο ἐξ ἀποφάσεως, ἀλλὰ καὶ ὅσοι ἀπὸ τοῦ νῦν τολμήσουσιν [ἰδιοποιήσασθαί τι] ἐκ τῶν εἰσοδημάτων τῶν αὐτῶν ἀφιερωμένων δένδρων καὶ ἀδικήσουσι τὴν ἐκκλησίαν, ἀφωρισμένοι ἔστωσαν καὶ ἀσυγχώρητοι. †

† Μηνὶ φεβρουαρίῳ, ἰνδικτιῶνος ιε'. †

† Ὁ Κυζίκου Παρθένιος. † † Ὁ Χαλκηδόνος Νεκτάριος. †

† Ὁ Γάνου καὶ Χώρας Ἰωαννίκιος. † † Ὁ Ἀδριανουπόλεως Παρθένιος. †

† Ὁ Βιζύης Χρύσανθος. †

*Archetyp. chart. Flor. II. nro 51, quod haec habet:* Ἔστι ὁ ναὸς τῆς Θεοτόκου (τῆς Διασωζούσης) ἐν Πάτμῳ.

## CXXXIII. 7181—1673, mense maio, ind. XI.

*Patriarcha Dionysius III. Muselimes confirmat libertatem, iura et privilegia monasterii.*

† Διονύσιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Οἱ ἐξ αἰῶνος τὸν αἰῶνα κατὰ διαδοχὴν ἀμείβοντες ἄνθρωποι τὴν τῶν πραγμάτων ταχύποδα φορὰν καὶ ἀγχίστροφον κατοπτεύοντες, ὅπως ἀλληνάλλως ἀεὶ δηλαδὴ τὰ καθυποπίπτοντα ταύτῃ περιδινεῖσθαί φιλεῖ καὶ ἀμαυροῖ ταχέως τὰ πρὸ βραχέως τοῦ ζῆν ἀρξάμενα τὴν παντουργοῦ, ὡς ἐφικτόν, ἐμιμήσαντο θείαν πρόνοιαν, ἥτις τὰ ὄντα δημιουργεῖ καὶ δημιουργηθέντα κηδεμονίαις ἀρρήτοις ἐς διαμονὴν συντηρεῖ περισώζουσα, κἀντεῦθεν ὅσαπερ ὅπως ποτὲ κτήσασθαι δυνηθεῖεν προμηθείαις ὅλαις ἐπιμελοῦνται καὶ σκέψεσιν, ὅπως εἰς διαμονὴν ἐχυρῶσωσι καὶ πολυζωΐαν κρατύνωσιν, ἵνα μὴ χρόνου ταχὺ παρανάλωμα γένηται ἢ καὶ ὑπό τινος ἀκορέστου γνώμης καὶ ἀγερώχου χειρὸς ἀπώληται. κατὰ ταῦτα τοιγάρτοι καὶ οἱ σεβάσμια μοναστήρια θεοφιλῶς ἀνεγείροντες εἰς δόξαν θεοῦ, μνημόσυνόν τε τῶν ὀρθοδόξων καὶ σωτηρίαν ψυχῆς τῶν ἐν αὐτοῖς εὐαρεστούντων θεῷ ὑπὸ μὲν τὴν

ἀκροτάτην περιωπὴν τάττουσι τοῦ οἰκουμενικοῦ τούτου θρόνου, σταυροπηγιακῷ δηλονότι καὶ πατριαρχικῷ κατακοσμοῦντες ὀνόματι, δι' οὗ κρατυνόμενα σώζονται παντοίας δυναστείας ἀπαλλαττόμενα· τὸ γὰρ ἔλαττον ἀεὶ καὶ ἀσθενὲς προστασίᾳ τοῦ ἰσχυροτέρου καὶ κρείττονος φύσει καὶ θέσει περιφυλάττεσθαι πέφυκεν, ὅσα καὶ σῶμα ψυχῇ συνενωθὲν ὑπ' αὐτῆς πάντως κρείττονος οὔσης οὐσίας καὶ κινεῖται καὶ σώζεται. τὴν δὲ σταυροπηγιακὴν ταύτην ἐλευθερίαν καὶ δύναμιν σιγιλλιώδεσι γράμμασιν οὐ μόνον ἐν τῇ τῶν τοιούτων κατάρξει καθάπαξ, ἀλλὰ πολλάκις τῶν κατὰ χρόνους πατριαρχῶν ἐπικυροῦν καὶ ἰσχυρῶς ἀσφαλίζειν εἰώθασιν ἀνανεοῦντες οἱονεὶ δι' ἀμοιβαίας ταύτην δυνάμεως, ὅπως μὴ λήθης ἐμπέσῃ βυθοῖς χρονικαῖς περιστάσεσιν. ἔνθεν τοι καὶ οἱ συνασκούμενοι πατέρες ἐν τῇ πατριαρχικῇ καὶ σταυροπηγιακῇ μονῇ τοῦ ἁγίου, ἐνδόξου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου τοῦ ἐν τῇ νήσῳ Πάτμῳ προσκομίσαντες ἡμῖν γράμμα σιγιλλιῶδες τοῦ πάλαι πατριάρχου γέροντος, κὺρ Κυρίλλου, βεβαιωτήριον ὑπάρχον τῶν παρ' αὐτοῖς παλαιγενῶν γραμμάτων πατριαρχικῶν καὶ βασιλικῶν χρυσοβούλλων, δι' ὧν μαρτυρεῖται, ὅτι ἡ ἱερὰ αὕτη μονὴ ἀνεγερθεῖσα κατ' ἀρχὰς ἀδείᾳ καὶ βουλῇ τῶν πάλαι θεοσεβῶν αὐτοκρατόρων καὶ ἀοιδίμων βασιλέων ὑπ' ἐκείνου τοῦ εὐλαβεστάτου μοναχοῦ Χριστοδούλου διά τε χρυσοβούλλων τοῦ κὺρ Ἀλεξίου Κομνηνοῦ καὶ γραμμάτων τῶν κατ' ἐκείνου καιροῦ μέχρι καὶ τῇδε τῶν φθασάντων μακαρίων πατριαρχῶν εἴληφε τὴν ἐξουσίαν εἶναι βασιλικὴν καὶ πατριαρχικὴν καὶ σταυροπηγιακήν, ἀτελῆ τε καὶ ἀσύδοτον καὶ ἀδούλωτον καὶ κατὰ πάντα ἀνενόχλητον, ἅμα τῇ νήσῳ πάσῃ διαμένουσαν ἀεὶ αὐτοδέσποτον καὶ αὐτεξούσιον καθ' ἑαυτὴν διεξαγομένην, καθὰ λεπτομερῶς διέξεισι τὰ περὶ αὐτῆς ὑπομνήματα, τὸν δὲ καθηγούμενον αὐτῆς μηδενί τινι προσώπῳ ἐκκλησιαστικῷ ἢ κοσμικῷ ὑποκεῖσθαι πώποτε, τὴν πατριαρχικὴν δὲ μόνην μεγαλειότητα κεφαλὴν ἐπιγινώσκειν, διεξάγειν τε τὸν αὐτὸν ἡγούμενον πνευματικῶς τούς τε συνασκουμένους ἐν τῇ μονῇ καὶ πάντας τοὺς αὐτὴν τὴν νῆσον οἰκοῦντας καὶ τοὺς προσκαθημένους ἐν τοῖς τῆς μονῆς κτήμασι καὶ πράγμασι καὶ τούτων ἔχειν τὴν πνευματικὴν ἀνάκρισιν καὶ διοίκησιν καὶ ποιμαίνειν αὐτοὺς ἐκκλησιαστικῶς κατὰ τὴν ἐνοῦσαν αὐτῷ δύναμιν, ἐξεῖναι δὲ τοῖς μοναχοῖς ἀκωλύτως παρ' οὗ ἂν βούλωνται ἀρχιερέως τὰς ἑαυτῶν χειροτονίας ποιεῖν καὶ καθ' ἑαυτοὺς ἐνεργεῖν τὴν τοῦ ἡγουμένου αὐτῶν ἐκλογήν τε καὶ προχείρησιν, ἀποκλείειν δὲ τοὺς ἐπιχειρησομένους ὅπως ποτὲ κατεπεμβαίνειν τῆς μονῆς καὶ δοκιμάζειν καταδουλοῦν καὶ τὸν κατὰ θεὸν ἀμέμπτως πολιτεύεσθαι βίον καὶ ἀνεπηρεάστως ζῆν ἐν αὐτῇ παρὰ τῶν κατὰ καιροὺς ταῖς φιλοδοξίαις ἐπιμαινομένων, οὐ μὴν δέ, ἀλλὰ καὶ τοῖς κατὰ καιροὺς πατριάρχαις μηδέν τι δίκαιον ἄλλο προσεῖναι συγχωροῦν ἐν τῇ

ΨΗΦΙΟΠΟΙΗΘΗΚΕ ΑΠΟ ΤΟ ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ ΙΩΑΝΝΙΝΑ 2006

μονὴ ταύτη, ἀλλ' ἢ μόνον τὴν ἀναφορὰν τοῦ οἰκείου ὀνόματος ἐν ταῖς θείαις ἀκολουθίαις καὶ τὸ ἐτησίως ἐπικρατῆσαν δίδοσθαι τῇ καθ' ἡμᾶς μεγάλῃ ἐκκλησίᾳ ὑποταγῆς ἕνεκα καὶ κατὰ πάντα μένειν αὐτὴν δηλονότι ἐλευθέραν καὶ πάντα τὰ αὐτῆς προνόμια ἀλώβητα καὶ ἀπαράπτωτα εἰς τὸ μετέπειτα, ἐδεήθησαν λίαν προσεπιβεβαιωθῆναι καὶ παρ' ἡμῶν τὰ διαληφθέντα ὑπομνήματα δι' ἡμετέρου νεωτέρου γράμματος εἰς ἐπικρατεστέραν ἀσφάλειαν. τούτου χάριν τὴν αἴτησιν αὐτῶν ὡς εὔλογον οὖσαν καὶ ἔθιμον προσηκάμεθα, τῷ ἔθει τῆς ἐκκλησίας καὶ τοῦ καθ' ἡμᾶς οἰκουμενικοῦ θρόνου προσηκόντως χρώμενοι γράφομεν καὶ ἀποφαινόμεθα συνοδικῶς, ἵνα πάντα μὲν τὰ παλαιγενῆ καὶ ἀρχαῖα ἔγγραφα, εἴτε σεπτά φημι τῶν εὐσεβῶν βασιλέων χρυσόβουλλα, εἴτε πατριαρχικὰ σιγιλλιώδη γράμματα τῶν κατὰ καιροὺς ἀοιδίμων πατριαρχῶν, ὅσαπερ ἐγένετο πρὸ χρόνων ὑπὲρ τοῦ ἱεροῦ τούτου μοναστηρίου, δι' ὧν δεδώρηται αὐτῷ τὰ ὅσα περιφέρει προνόμια, καθὰ περιέχονται τοῖς γράμμασιν, ἔχωσι τὸ κῦρος καὶ τὴν ἰσχὺν καὶ διαμένωσιν ἐς ἀεὶ βέβαια καὶ μόνιμα καὶ ἀδιαλώβητα καὶ ἀπαρεγχείρητα, ἡ δὲ διαληφθεῖσα μονὴ ἅμα τῇ νήσῳ Πάτμῳ καὶ τοῖς κατὰ τόπον εὑρισκομένοις μετοχίοις αὐτῆς σὺν πᾶσι τοῖς ἀφιερωμένοις αὐτῇ καὶ τοῖς μετέπειτα ἀφιερωθησομένοις κτήμασι καὶ πράγμασι κινητοῖς τε καὶ ἀκινήτοις εἴη καὶ διαμένοι ὡς βασιλικὴ καὶ πατριαρχικὴ καὶ σταυροπηγιακική, αὐτόνομος καὶ αὐτοδέσποτος ἀνενόχλητος, ἀκαταπάτητος, ἀσύδοτος καὶ ὅλως ἀκαταζήτητος παρὰ παντὸς προσώπου ἐκκλησιαστικοῦ καὶ λαϊκοῦ, μηδενὶ μηδὲν ὀφείλουσα παρέχειν, εἰ μὴ τὸ ἐπικρατῆσαν ἐτησίως τῇ καθ' ἡμᾶς μεγάλῃ τοῦ Χριστοῦ ἐκκλησίᾳ, μνημονευόντων τῶν ἐν αὐτῇ ἀσκουμένων διὰ παντὸς τοῦ πατριαρχικοῦ ὀνόματος καὶ διαγόντων θεοφιλῶς καὶ εἰρηνικῶς, ἡ δὲ ἐκλογὴ τοῦ ἡγουμένου καὶ ἵδρυσις γένηται ὑπ' αὐτῶν, ὡς διείληπται, καὶ τὰς χειροτονίας ἔχωσιν ἄδειαν ποιεῖν, παρ' οὗ ἂν ἐθέλωσιν ἀρχιερέως προσκαλουμένου ὑπ' αὐτῶν καὶ τὰς ἱεροτελεστίας ἐκτελοῦντος πλὴν τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως. καὶ οἱ μὲν μοναχοὶ ὑποτάσσωνται τῷ ἰδίῳ καθηγουμένῳ κατὰ τὴν ἀποστολικὴν ἐντολὴν σεμνοπρεπῶς, ὁ δὲ τῆς ψυχικῆς αὐτῶν ἐπιμελῆται σωτηρίας, ὡς νενόμισται. ὃς δ' ἂν ὀψέ ποτε βουληθείη τὰς ἀποφάσεις ἀνατρέψαι τῶν παλαιγενῶν γραμμάτων αὐτῶν καὶ εἰς δουλείαν τινὰ καταγαγεῖν τὸ σταυροπηγιακὸν αὐτὸ μοναστήριον ἢ τοῖς ἐν αὐτῷ μονάζουσι διενοχλῆσαι ἢ καθαρπάσαι τι τῶν ἀφιερωμένων αὐτῷ καὶ τοῖς μετοχίοις αὐτοῦ ἢ ζητῆσαι πολὺ ἢ ὀλίγον νοσφίσασθαι καὶ ζημίαν τινὰ διαπράξασθαι αὐτοῖς, ὁ τοιοῦτος τοῦ μὲν ἱεροῦ καταλόγου ὢν ἀργὸς εἴη πάσης ἀρχιερατικῆς καὶ ἱερατικῆς ἐνεργείας καὶ τάξεως, καταφρονῶν δὲ καὶ ἀφωρισμένος ἀπὸ θεοῦ, ὡς ὑπόδικος τῇ παντελεῖ καθαιρέσει, τοῦ λαϊκοῦ δὲ ἢ καὶ μοναδικοῦ, ἀφωρισμένος ἀπὸ θεοῦ κυρίου παντο-

κράτορος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ ἄλυτος μετὰ θάνατον καὶ ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπόδικος καὶ λόγον ἀποδώσει θεῷ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. ὅθεν εἰς ἔνδειξιν ἀπελύθη καὶ τὸ παρὸν ἐπιβεβαιωτήριον γράμμα ἐν τῇ πατριαρχικῇ αὐτῇ μονῇ. ͵αχογʹ, μηνὶ μαΐῳ, ἰνδικτιῶνος ιαʹ. †

† Διονύσιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Ὁ Ἡρακλείας Βαρθολομαῖος. †
† Ὁ Δρύστρας Μεθόδιος. †
† Ὁ . . . . . . . . . . †
† Ὁ . . . . . . . . . . †
† Ὁ Νικομηδείας Πορφύριος. †
† Ὁ Χαλκηδόνος Ἱερεμίας. †
† Ὁ Φιλιππουπόλεως Ἀβέρκιος. †
† Ὁ Σερρῶν Χρύσανθος. †

*Archetyp. membr. Flor. II. nro 52.*

## CXXXIV. 7181—1673, mense maio, ind. XI.

*Patriarcha Dionysius III. Muselimes archiepiscopo Coi scribit de libertate ecclesiae Sancti Antonii in Coo, quae est metochium monasterii Patmi.*

† Διονύσιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Θεοφιλέστατε ἀρχιεπίσκοπε Κώου, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργέ, καὶ ἔντιμοι κληρικοὶ καὶ ἄρχοντες χρήσιμοι καὶ λοιποὶ εὐλογημένοι χριστιανοί, χάρις εἴη ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ. οἱ ὁσιώτατοι πατέρες τοῦ ἱεροῦ πατριαρχικοῦ καὶ σταυροπηγιακοῦ μοναστηρίου τοῦ ἁγίου, ἐνδόξου καὶ πανευφήμου ἀποστόλου Ἰωάννου τοῦ Θεολόγου τοῦ ἐν τῇ νήσῳ Πάτμῳ παραστάντες ἐπὶ συνόδου ἀνέφερον ἡμῖν, ὅτι ἔνδον τῆς χώρας εἰς τὰ ὀσπήτια τοῦ μοναστηρίου αὐτῶν ἔχουσιν ἐκκλησίαν ἐπ᾽ ὀνόματι τοῦ ἁγίου Ἀντωνίου παλαιόθεν καὶ διῆγον ἐν αὐτῇ ἐλευθέρως κατὰ τὰ προνόμια τῆς ἐλευθερίας τοῦ μοναστηρίου αὐτῶν, ἥτις ἐβραβεύθη αὐτῷ καὶ τοῖς μετοχίοις αὐτοῦ ἀρχαίως διὰ βασιλικῶν χρυσοβούλλων καὶ σιγιλλιωδῶν πατριαρχικῶν γραμμάτων. ἤδη δὲ ἡ ἀρχιερωσύνη σου οὐκ οἶδ᾽ ὅπως κινουμένη ζητεῖ ἐξ αὐτῶν ἐμβατοίκιον, ὡς καὶ τῶν λοιπῶν ἐκκλησιῶν τῆς χώρας, μηδεμίαν διαφορὰν θέμενος μεταξὺ αὐτῶν καὶ τῆς σταυροπηγιακῆς ἐκκλησίας. ἀλλὰ τοῦτο φανερῶς ἀνατρέπει τὴν ἐλευθερίαν αὐτῶν καὶ εἰς δουλείαν ὑπάγει τὴν ἐκκλησίαν, ὅπερ οὐκ ἔξεστι γενέσθαι· τὰ γὰρ ἀρχαιότητι διαφέροντα τὸ αἰδέσιμον ἔχουσι κατὰ τοὺς ὁσίους πατέρας καὶ αἱ βασιλικαὶ καὶ πατριαρχικαὶ φιλοτιμίαι ἀμετάκλητοι καὶ ἀμετακίνητοί εἰσι καὶ δέον φυλάττεσθαι τὴν ἐλευθερίαν τῶν ἐλευθέρων μοναστηρίων καὶ τῶν μετοχίων

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ Ε.Ε.Ν.Φ. ΙΩΑΝΝΙΝΑ 2006

αὐτῶν ἀπαρασάλευτον παρὰ πάντων ἀεί. διὰ τοῦτο γράφομεν καὶ ἀποφαινόμεθα συνοδικῶς, ἵνα καθὼς ἄνωθεν καὶ ἐξ ἀρχῆς διῆγον ἐν τῇ αὐτῇ ἐκκλησίᾳ, οὕτω καὶ νῦν διάγωσιν εἰρηνικῶς καὶ ἐλευθέρως, καὶ μὴ νεωτερίζῃς ἐν αὐτοῖς, μήτε ἐνοχλῇς καὶ ἐπηρεάζῃς αὐτοὺς καταβιάζων εἰς ἀσυνήθη πράγματα καὶ μὴ ἁρμόζοντα τοῖς παλαιοῖς προνομίοις αὐτῶν· οὐ γὰρ ἔξεστιν, ὡς εἴρηται, καταπατεῖσθαι τὴν σταυροπηγιακὴν δύναμιν καὶ ἐλευθεροποιὸν ἀξίαν τῆς βασιλικῆς καὶ ἐκκλησιαστικῆς ὑπεροχῆς. οὕτω γενέσθω, ὡς γράφομεν, καὶ μὴ ἄλλως ποιήσῃ τις, ὁποίας ἂν εἴη τάξεως, ἐν βάρει ἀργίας καὶ ἀλύτου ἀφορισμοῦ. ἡ δὲ τοῦ θεοῦ χάρις εἴη μετὰ πάντων ὑμῶν. ͵αχογʹ, ἐν μηνὶ μαΐῳ, ἰνδικτιῶνος ιαʹ.

† Διονύσιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Ὁ Ἡρακλείας Βαρθολομαῖος. † — † Ὁ Νικομηδείας Πορφύριος. †
† Ὁ Χαλκηδόνος Ἱερεμίας. † — † Ὁ Δρύστρας Μεθόδιος. †
† Ὁ . . . . . . . . . . . † — † Ὁ Σερρῶν Χρύσανθος. †

*Archetyp. Flor. II. nro 53.*

## CXXXV. [7189—1680], mense septembri, ind. IV.

*Patriarcha Parthenius IV. Mongilalus et synodus tuentur iura et libertatem possessionum et monachorum monasterii contra iniurias a quibusdam archiepiscopis eis illatas.*

† Παρθένιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Ἐπειδὴ ὅ τε ὁσιώτατος καθηγούμενος τῆς πατριαρχικῆς καὶ βασιλικῆς μονῆς τοῦ ἁγίου, ἐνδόξου καὶ πανευφήμου ἀποστόλου Ἰωάννου τοῦ Θεολόγου τῆς ἐν τῇ νήσῳ Πάτμῳ καὶ πάντες οἱ συνασκούμενοι αὐτῷ πατέρες ἀνέφερον ἡμῖν, ὅτι τὴν ἐλευθερίαν καὶ ἀσυδοσίαν, ἣν ἔχει τὸ ἱερὸν αὐτὸ μοναστήριον καὶ τὰ ὑποκείμενα αὐτῷ μετόχια εἰς διαφόρους ἐπαρχίας διὰ τῶν σιγιλλιωδῶν πατριαρχικῶν γραμμάτων τῶν ἀοιδίμων πρόπαλαι πατριαρχῶν τοῦ οἰκουμενικοῦ θρόνου τούτου τῆς Κωνσταντινουπόλεως, τινὲς τῶν ἀρχιερέων τῆς Ἄσπρης Θαλάσσης παρορῶσι καὶ καταφρονοῦσιν ἀνευλαβῶς καὶ ἀναισχύντως καὶ ἐπηρεάζουσι τοὺς διατρίβοντας εἰς τὰς ἐπαρχίας αὐτῶν ἱερομονάχους καὶ πατέρας τοῦ σταυροπηγιακοῦ μοναστηρίου, εἴτε εἰς μετόχια αὐτῶν, εἴτε καὶ εἰς ταξείδιον ἐλεημοσύνης, εἴτε εἰς ὑπηρεσίαν ἄλλην τοῦ μοναστηρίου ἢ ζητοῦσιν ἐξ αὐτῶν δικαιώματα μὴ ἀνήκοντα αὐτοῖς ἢ τὰς κληρονομίας τῶν θανόντων πατέρων τῶν ἐχόντων τὴν

μετάνοιαν αὐτῶν εἰς τὸ μοναστήριον καθαρπάζειν πειρῶνται καὶ ἄντικρυς καταπατοῦσι τῶν προνομίων τῆς πατριαρχικῆς ἀξίας καὶ ἀνατρέπουσι τὰς εὐεργεσίας αὐτῆς καὶ χάριτας, ὅπερ οὐκ ἔδοξεν ἡμῖν φορητὸν καὶ στερκτόν, ἀλλὰ καὶ λίαν ὀχληρὸν καὶ ἀφόρητον. καὶ κατὰ τὸ ἐν ἡμῖν χρέος, ὅπερ ἔχομεν, συνιστᾶν τῶν πρὸ ἡμῶν ἀοιδίμων πατριαρχῶν τὰ εὐεργετήρια γράμματα τὰ θεοφιλεῖ γνώμῃ προβάντα καὶ ἐπιβεβαιοῦν αὐτὰ πάσῃ δυνάμει, γράφομεν καὶ ἀποφαινόμεθα συνοδικῶς, γνώμῃ καὶ τῶν παρευρεθέντων ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὰ παλαιγενῆ πατριαρχικὰ καὶ συνοδικὰ σιγιλλιώδη γράμματα τοῦ ἱεροῦ αὐτοῦ μοναστηρίου ἔχωσι τὸ κῦρος, τὸ μόνιμον καὶ τὸ ἀμετάτρεπτον καὶ εἴη ἀδούλωτον αὐτὸ καὶ τὰ μετόχια αὐτοῦ ἐν πάσῃ ἐπαρχίᾳ καὶ ἀζήτητα ἢ ἀσύδοτα ἢ ἀκαταπάτητα καὶ μηδεὶς τῶν ἀρχιερέων τολμήσῃ ποτὲ ἐπηρεάζειν τινὰ τῶν ἱερομονάχων ἢ μοναχῶν τοῦ αὐτοῦ μοναστηρίου καὶ ζητεῖν ἐξ αὐτοῦ εἰσόδημα μὴ ἀνῆκον αὐτῷ, μήτε πολύ, μήτε ὀλίγον, ἀλλὰ καὶ τῶν ἐχόντων τὴν μετάνοιαν αὐτῶν εἰς τὸ μοναστήριον τὰς κληρονομίας μηδεὶς ἄλλος τολμήσει παραλαβεῖν, εἰ μὴ μόνον τὸ μοναστήριον, ἐν ᾧ ἐκλήθη, καὶ παυσάσθω πᾶσα χεὶρ ἄδικος ἐξ αὐτῶν καὶ βιαία ἐξ ἀποφάσεως· ὃς δ' ἂν φανῇ παρήκοος καὶ καταφρονητὴς ἐν οἷς γράφομεν, ἀφωρισμένος εἴη ἀπὸ θεοῦ καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ ἄλυτος μετὰ θάνατον ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι. αἱ πέτραι, τὰ ξύλα, ὁ σίδηρος λυθήσονται, αὐτὸς δὲ οὐδαμῶς, καὶ ὑπόδικος [ἔσται] ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς. οὕτω γενέσθω καὶ μὴ ἄλλως ἐξ ἀποφάσεως. ἐν μηνὶ σεπτεμβρίῳ, ἰνδικτιῶνος δ'. †

† . . . . . . . . . . . . †
† Ὁ Ἡρακλείας Μεθόδιος. †
† Ὁ Φιλιππουπόλεως Γαβριήλ. †
† Ὁ Τραπεζοῦντος Ἀνανίας. †
† Ὁ Σερρῶν Χρύσανθος. †
† Ὁ . . . . . Ἰγνάτιος. †
† Ὁ Μεθώμνης Μακάριος. †
† Ὁ Χαλκηδόνος Γαβριήλ. †
† Ὁ Νέων Πατρῶν Γεράσιμος. †
† Ὁ Μυρέων Παγκράτιος. †
† Ὁ Σηλυβρίας Μητροφάνης. †
† Ὁ πρώην Ἰκονίου Δανιήλ. †

*Archet. Flor. II. nro 54.*

## CXXXVI. 7196—1688, mense maio, ind. XI.

*Patriarcha Callinicus II. confirmat libertatem, iura et privilegia monasterii.*

† Καλλίνικος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †



ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Γ.Α. τιμ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

† Τὸ ἀνακαινίζειν τὰ πράγματα πολλάκις προνοίας ἔργον λυσιτελέστατον ἀναντιρρήτως ἐστί· φθορᾷ γὰρ ὑποκειμένων τῶν ὑπὸ χρόνον ἁπάντων ῥᾷον ἐκπίπτειν τοῦ εἶναι πέφυκεν, ὅσα συχνοτέρας ὑπέστη τοῦ χρόνου κατατομάς, διόπερ ἡ τῶν ἀνθρώπων σοφῶς ἐξεῦρεν ἐπίνοια τὸ ἀνανεοῦν τὰ παλαιούμενα καὶ δι' αὐτοῦ ἀναστέλλειν τὴν πρὸς ὄλεθρον κατεπείγουσαν φθορὰν μακροζωΐαν τέ τινα περὶ αὐτὰ πραγματεύεσθαι, ὡς ἔνεστιν, ἀνθ' ὧν καὶ ἡ καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλη ἐκκλησία διηνεκῶς ἀνακαινίζειν εἴωθε τὰ φθάσαντα γράμματα τῶν προαπελθόντων ἀοιδίμων πατριαρχῶν ὑπὸ τῶν πατέρων πεμφθέντα τῶν ἤδη συνασκουμένων ἐν τῇ ἱερᾷ καὶ σεβασμίᾳ, βασιλικῇ τε καὶ πατριαρχικῇ μονῇ τοῦ ἁγίου, ἐνδόξου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου κατὰ τὴν Πάτμον νῆσον διαλαμβάνοντα πάντα τὰ ἀνέκαθεν, ἐκ πρώτης φημὶ κατάρξεως τοῦ ἱεροῦ αὐτοῦ μοναστηρίου φιλοτιμηθέντα αὐτῷ προνόμια διὰ βασιλικῶν χρυσοβούλλων, καὶ μὴν καὶ διὰ πατριαρχικῶν σιγιλλιωδῶν γραμμάτων ἐνασμενισθέντα καὶ κατοχυρωθέντα· αὐτίκα γάρ φησιν ὁ τῆς αἰωνίας μνήμης εὐσεβὴς βασιλεὺς Ἀλέξιος ὁ Κομνηνὸς «χρυσόβουλλον ἐδωρήσατο τῷ κτήτορι τῆς αὐτῆς μονῆς, μοναχῷ Χριστοδούλῳ, δι' οὗ ἐπιβραβεύεται ταύτῃ πᾶσαν ἐλευθερίαν, αὐτονομίαν τε καὶ αὐτοδεσποτείαν σὺν ἁπαξαπάσῃ τῇ νήσῳ Πάτμῳ μετὰ πάσης τῆς περιοχῆς καὶ διακρατήσεως αὐτῆς ἐπ' ἀναφαιρέτῳ καὶ διηνεκεῖ τῇ δεσποτείᾳ καὶ κυριότητι, [τὸ] ἀτελῶς, ἀβαρῶς καὶ [κατὰ πάντα ἀνενοχλήτως] τηρεῖν αἰωνίως ταύτην τε τὴν δηλωθεῖσαν σεβασμίαν μονήν, [καὶ] αὐτοδέσποτον καὶ αὐτεξούσιον μετὰ τῆς ὅλης νήσου διαμένειν ἐς ἀεὶ καθ' ἑαυτὴν ἀγομένην καὶ διευθυνομένην, καὶ οὔτε αὐτὴ ἡ μονή, οὔτε τὰ ὑποκείμενα ταύτῃ, οὔθ' ἡ ἅπασα νῆσος ὑπὸ βασιλικὰ ἢ πατριαρχικὰ ἢ μητροπολιτικὰ ἢ ἐπισκοπικὰ ἢ ἐκκλησιαστικὰ ἢ ὑπό τινα ὅλως ἰδιωτικὰ ὑπαχθήσονται πρόσωπα, ἀλλ' ἐλευθεριάσουσι καθαρῶς ἄχρις αἰῶνος παντός». κἀντεῦθεν πρὸς τῇ βασιλικῇ ταύτῃ φιλοτιμίᾳ καὶ πατριαρχικὸν ἐπεδαψιλεύθη σιγίλλιον τοῦ τηνικαῦτα τὸν. πατριαρχικὸν ἰθύνοντος θρόνον ἁγιωτάτου πατριάρχου, κυροῦ Ἰωάννου, κατακολουθοῦν μὲν ἐπὶ πᾶσι τοῖς ἐμφερομένοις τῷ βασιλικῷ χρυσοβούλλῳ, παρεχόμενόν τε ταύτῃ τῇ σεβασμίᾳ μονῇ τὸ ἀνεπηρέαστον καὶ ἀνενόχλητον καὶ ἀπὸ τῶν κατὰ καιροὺς ἀποστελλομένων ἐξάρχων καὶ παρ' ἑτέρου προσώπου, ἀποκλεῖον δὲ καὶ τὴν εἴσοδον πᾶσι τοῖς ἀρχιερεῦσι τοῖς ὑφ' ἑαυτοὺς ἄγειν τὴν μονὴν ἐπιχειροῦσιν, οὐ μὴν δέ, ἀλλὰ καὶ τῷ κατὰ καιροὺς πατριάρχῃ μηδέν τι προσεῖναι ἐπὶ τῇ μονῇ ταύτῃ οἱονδήποτουν εἴη δίκαιον συγχωροῦν, ἀλλ' ἢ μόνην τὴν ἀναφορὰν τοῦ οἰκείου ὀνόματος ἐν ταῖς θείαις ἱεροτελεστίαις, πρὸς τούτοις διοριζόμενον ἐξεῖναι τοῖς μοναχοῖς ἀκωλύτως παρ' ᾧ ἂν βούλωνται τὰς ἑαυτῶν ποιεῖσθαι χειροτονίας καὶ καθ' ἑαυ-

τούς ἐνεργεῖν τὴν τοῦ σφῶν ἡγουμένου προχείρησιν. μεθ' ὃν ἁγιώτατον πατριάρχην, κῦρ Ἰωάννην, καὶ ἕτεροι κατὰ καιροὺς πατριάρχαι, κῦρ Λουκᾶς δηλαδὴ καὶ κῦρ Συμεὼν καὶ κῦρ Ἰωάσαφ, κῦρ Κύριλλος καὶ οἱ λοιποὶ τῶν μεταγενεστέρων κατὰ ταὐτὰ τοῖς ἰδίοις αὐτῶν σιγιλλιώδεσιν ὑπομνήμασι τὰ προνόμια τοῦ ἱεροῦ αὐτοῦ μοναστηρίου σθένει παντὶ διεκρατύναντο προσεπικυρούμενοι τὰ τῶν προγενεστέρων οἱ μεταγενέστεροι χάριν εὐλαβείας, σέμνωμα ταῦτα φάσκοντες εἶναι τῇ περιδόξῳ ταύτῃ μονῇ προσαρμοσθὲν ὑπὸ βασιλικῆς εὐσεβείας διὰ τὸ τὸν ἐπιστήθιον ἐκεῖνον μαθητὴν καὶ ἀπόστολον Ἰωάννην τὸν Θεολόγον, ἐν αὐτῇ τῇ νήσῳ τὸ ἱερὸν συγγράψασθαι εὐαγγέλιον, καὶ πρὸς τὸ βασιλικὸν χρυσόβουλλον ἀτενίζοντες καὶ ἐκεῖνο συνῳδὰ διακελεύονται τὴν σεβασμίαν ταύτην μονὴν αὐτοδέσποτον εἶναι καὶ καθ' ἑαυτήν, τόν τε πνευματικῶς προϊστάμενον τῶν ἐν αὐτῇ συνασκουμένων μοναχῶν μηδενί ποτε προσώπῳ ὑποκείμενον εἶναι, οὔτε ἐκκλησιαστικῷ, οὔτε κοσμικῷ, μόνην δὲ τὴν πατριαρχικὴν μεγαλειότητα κεφαλὴν ἐπιγινώσκειν πνευματικήν, πρὸς δὲ τῇ τῆς μονῆς κυριότητι διεξάγειν αὐτὸν πνευματικῶς καὶ πάντας τοὺς ἐν αὐτῇ τῇ νήσῳ οἰκοῦντας χριστιανοὺς καὶ πάντας τοὺς προσκαθημένους ἐν τοῖς κτήμασι καὶ μετοχίοις τῆς μονῆς καὶ πάντων ἔχειν τὴν πνευματικὴν ἀνάκρισιν καὶ διοίκησιν καὶ ποιμαίνειν αὐτοὺς πνευματικῶς κατὰ τὴν ἐνοῦσαν αὐτῷ διάκρισιν, μηδένα τε τῶν ἀρχιερέων παρείσδυσίν τινα κεκτῆσθαι τὸ παράπαν οὔτε ἐν τῇ μονῇ, οὔτε ἔν τινι τῶν ὑπὸ τὴν μονὴν τελούντων κτημάτων, οὐδέ τι ἀρχιερατικὸν ἐπ' αὐτοῖς διενεργῆσαι λειτούργημα, ἀλλ' εἴ ποτε ἀρχιερέως δεηθείη ὁ κατὰ καιροὺς καθηγούμενος διὰ χειροτονίαν ἢ ἄλλην ἱεροπραξίαν τινά, μετακαλῆται ὅντινα τῶν ἀρχιερέων θελήσει. παρὰ ταῦτα τῶν φιλοδοξίαις πως ἐπιμαινομένων καὶ τὰς ἀκαίρους ἡγουμενείας ὑφαρπάζειν ἐπιχειρούντων τὴν ὁρμὴν ἀναστέλλοντες διακελεύονται μηδ' ὅλως ἐξεῖναι καθ' ἑτερόν τινα τρόπον τὴν ἐκλογὴν προβαίνειν τοῦ καθηγουμένου τῆς μονῆς ταύτης, ἀλλ' ἢ μόνον, καθὼς ἀνέκαθεν ἐπεκράτησεν ἐκ τοῦ ὅρου τοῦ κτήτορος αὐτῆς, ἐκείνου τοῦ εὐλαβοῦς μοναχοῦ, κῦρ Χριστοδούλου, ἤγουν αὐτοὺς μόνους τοὺς συνασκουμένους μοναχοὺς ἐν τῇ αὐτῇ μονῇ ἐκλογὴν ποιεῖν κοινὴν καὶ ὃν ἂν εὕρωσιν ἀρέσκοντα τῇ κοινότητι αὐτῶν, ἐκεῖνον καθιστῶσιν ἡγούμενον. καὶ ἐπὶ πᾶσι καλῶς καὶ νουνεχῶς διορίζουσιν, ὅπως ἐὰν ἔφθασέ τι γενέσθαι ἢ γενήσεται ἔξω τῶν διατεταγμένων τύπων τοῦ μοναστηρίου ἐναντιούμενον τῇ μονῇ καὶ τοῖς ἐν αὐτῇ μοναχοῖς καὶ πρὸς σκάνδαλον ἀφορῶν ἢ καθόλου ἢ ἐν μέρει, τὸ τοιοῦτον ἀνίσχυρον εἶναι καὶ ἄπρακτον καὶ ὡς μὴ εἶναι μηδὲ γεγονὸς λογίζεται· οἵτινες ἠξιώσαντο καὶ ἡμᾶς οὐ μικρὸν ἐπιχορηγῆσαι αὐτοῖς καὶ νεώτερον πατριαρχικὸν γράμμα ἡμέτερον κατὰ τοὺς πρὸ ἡμῶν ἁγιωτάτους πατριάρχας ἐπὶ πλείονι

ἀσφαλείᾳ, τούτου χάριν ἡ μετριότης ἡμῶν τὴν αἴτησιν αὐτῶν μὴ παριδοῦσα, ἅτε δικαίαν οὖσαν καὶ εὔλογον, ἀλλ' ὡς ἐπικλινεῖς ἴσχουσα τὰς ἀκοὰς ἀεὶ τοῖς φιλαρέτοις ἔργοις καὶ θεοφιλέσιν ἐπιχειρήμασι καὶ τῇ συστάσει καὶ ἐπιδόσει τῶν ἱερῶν σκηνωμάτων ὅλαις προσκειμένη προθέσεσιν ἀσμένως ἀποδεξαμένη κατὰ τὸ ἐπικρατοῦν ἔθος τῷ καθ' ἡμᾶς ἀποστολικῷ, πατριαρχικῷ τε καὶ οἰκουμενικῷ θρόνῳ γράφει καὶ συνοδικῶς ἀποφαίνεται μετὰ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν αὐτῆς ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα πάντα μὲν τὰ ἱερὰ ἔγγραφα ὑπομνήματα τῆς διαληφθείσης σεβασμίας μονῆς, ὅσα δηλαδὴ ἐκ τοῦ πάλαι ἀρχαίου προσεγένετο ταύτῃ παρὰ τῶν εὐσεβῶν βασιλέων λαμπρὰ χρυσόβουλλα καὶ παρὰ τῶν ἀοιδίμων πατριαρχῶν σεπτὰ σιγίλλια τὰ κατ' αὐτὴν διοριζόμενα προνόμια ἔχωσι τὸ κῦρος καὶ τὴν ἰσχὺν διαμένοντα κρατυνόμενα καὶ στηριζόμενα διὰ παντός, ἀμετακίνητά τε καὶ ἀπαρασάλευτα καὶ ἀμετάθετα, ἕως οὗ ὁ ἥλιος ἐπὶ γῆς ἐφορᾷ, ἡ δὲ διαληφθεῖσα ἱερὰ καὶ σεβασμία μονὴ τοῦ ἁγίου, ἐνδόξου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου κατὰ τὴν νῆσον Πάτμον μετὰ πάντων τῶν κτημάτων καὶ ἀφιερωμάτων αὐτῆς, κινητῶν τε καὶ ἀκινήτων, τῶν νῦν προσόντων καὶ τῶν μετέπειτα σὺν θεῷ ἐπιγενησομένων, καὶ πάντων τῶν μετοχίων αὐτῆς ὑπάρχῃ ὡς ἀνέκαθεν καὶ λέγεται καὶ παρὰ πάντων γινώσκεται βασιλικὴ καὶ πατριαρχικὴ καὶ σταυροπηγιακὴ πάντη ἐλευθέρα, αὐτόνομός τε καὶ αὐτοδέσποτος, ἀδούλωτός τε καὶ ἀκαταπάτητος καὶ ἀσύδοτος, ἀνενόχλητός τε καὶ ὅλως ἀκαταζήτητος παρὰ παντὸς προσώπου ἐκκλησιαστικοῦ καὶ λαϊκοῦ μηδὲν μηδενὶ χρεωστοῦσα παρέχειν, εἰ μὴ μόνον τὸ ἐπικρατῆσαν ἐτησίως τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλῃ ἐκκλησίᾳ, οἱ δὲ συνασκούμενοι ἐν αὐτῇ πατέρες μνημονεύωσι τοῦ πατριαρχικοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς καὶ διάγωσιν εἰρηνικῶς, σεμνῶς τε καὶ κοσμίως, φυλάττοντες πρὸς τὸν καθηγούμενον αὐτῶν τὴν ὀφειλομένην ὑποταγὴν καὶ εὐπείθειαν, ὅπερ ἀπαραίτητον χρέος τυγχάνει τῇ μοναστικῇ καταστάσει κατὰ τοὺς πατερικοὺς καὶ κανονικοὺς ὅρους καὶ τύπους. ὁ δὲ καθηγούμενος τῆς μονῆς ἔχῃ τὰ ἐξ ἀρχῆς ἀπονεμηθέντα αὐτῷ προνόμια καθαρὰ καὶ ἀδούλωτα, μηδενὸς ποτε τολμήσοντος παραβιάζειν αὐτὸν ἔσωθεν ἢ ἔξωθεν τοῦ μοναστηρίου καὶ εἰς δουλείαν ἕλκειν αὐτόν, ἀλλὰ καὶ ἡ ἐκλογὴ καὶ κατάστασις τοῦ ἡγουμένου κατὰ καιροὺς μὴ ἄλλως γένηται, εἰ μὴ κατὰ τὸν τύπον τοῦ κτήτορος, μόνοι δηλαδὴ οἱ πατέρες ποιῶσι τὴν ἐκλογὴν ἐκ μέσου αὐτῶν καὶ καθιστῶσιν ἡγούμενον, ὃν ἂν εὕρωσιν ἄξιον, ἀπέχοντες οἱ ἄλλοι μακρὰν τῆς τοιαύτης ὑποθέσεως, ἤγουν τῆς ἐκλογῆς τοῦ ἡγουμένου, καὶ μήτε ἱερεῖς, μήτε λαϊκοὶ οἱ ἔξω τῆς τῶν πατέρων συσκηνίας ἔχωσιν ἄδειαν ἐμβάλλειν

ἑαυτοὺς εἰς τοιαύτην ὑπουργίαν κατ' οὐδεμίαν πρόφασιν, ὅπως φυλαχθῇ ὁ ἐξ ἀρχῆς τύπος τοῦ μοναστηρίου καθαρὸς καὶ ἀμετάθετος· ἐὰν γὰρ καὶ ἐνίοτε ἔφθασε γενέσθαι τὸ τοιοῦτον ἐναντία τοῦ πάλαι τύπου, δέον ἐμποδισθῆναι τοῦ λοιποῦ καὶ ἄπρακτον διαμεῖναι κατὰ τὰς προειρημένας διακελεύσεις τῶν πατριαρχικῶν ἀποφάσεων, ὁπόταν δὲ χρεία γένηται χειροτονίας τινὸς καὶ ἀρχιερατικῆς ὑπουργίας ἐν τῷ μοναστηρίῳ, προσκαλεῖν ἔχῃ ὁ ἡγούμενος ἐπὶ τούτοις, ὃν ἂν ἐθελήσειε τῶν ἀρχιερέων ἐπιτελεῖν τὰ ἀρχιερατικὰ χωρὶς μόνης τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως. ὃς δ' ἂν ὀψέ ποτε τολμήσῃ παρὰ ταῦτα τὰ γεγραμμένα ποιῆσαι καὶ καθ' οἱονδήτινα τρόπον ἀνατρέψαι τὰς ἀποφάσεις τῶν παλαιγενῶν γραμμάτων καὶ εἰς δουλείαν τινὰ καταγαγεῖν τὴν ἐλευθερίαν τοῦ μοναστηρίου ἢ ἐνοχλῆσαι τοῖς ἐν αὐτῷ ἀσκουμένοις ἢ ζητῆσαι πολὺ ἢ ὀλίγον ἐξ αὐτοῦ νοσφίσασθαι ἢ ἀποστερῆσαί τι τῶν ἀφιερωμάτων αὐτοῦ, ὁποίας ὢν τάξεως καὶ βαθμοῦ ὁ τοιοῦτος, ἀφωρισμένος εἴη ἀπὸ θεοῦ κυρίου παντοκράτορος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ ἄλυτος μετὰ θάνατον, καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ Ἰούδα, καὶ εὕροι τὸν θεὸν ἀντίδικον αὐτοῦ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως καὶ ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπόδικος. ὅθεν εἰς ἔνδειξιν ἀπελύθη τῇ ἱερᾷ ταύτῃ μονῇ καὶ τὸ παρὸν ἐπιβεβαιωτήριον πατριαρχικὸν σιγιλλιῶδες γράμμα. ͵αχπη', μαΐῳ, ἰνδικτιῶνος ια'. †

† Καλλίνικος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Ὁ Ἐφέσου Ἀθανάσιος. †
† Ὁ Σερρῶν Κύριλλος. †
† Ὁ . . . . . Πορφύριος. †
† Ὁ . . . . Πατρῶν . . . . . †
† Ὁ Ἡρακλείας Βαρθολομαῖος. †
† Ὁ Χαλκηδόνος Κλήμης. †
† Ὁ Ῥόδου Παρθένιος. †
† Ὁ Μυτιλήνης Γρηγόριος. †
† Ὁ Δυρραχίου Νικόδημος. †

*Archetyp. cum bulla plumbea. Flor. II. nro 56.*

## CXXXVII. 7203—1695, mense iulio, ind. III.

*Patriarcha Callinicus II. et synodus iubent metropolitas, qui sedibus suis renuntiant, in monasterium S. Ioannis secedere ibique reliquam aetatem agere, facere testamentum et legare partem bonorum ecclesiae Constantinopolitanae, de ceteris vero libere disponere.*

† Καλλίνικος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΙΜΕΛΗΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

† Ἐπειδὴ παραγενόμενοι τῇ ἡμετέρᾳ προτροπῇ δύο πατέρες ἀπὸ τῆς ἐν τῇ νήσῳ Πάτμῳ ἱερᾶς μονῆς τοῦ ἁγίου, ἐνδόξου καὶ πανευφήμου ἀποστόλου Ἰωάννου τοῦ Θεολόγου ἀπολογίαν ἐποιήσαντο ἀπὸ μέρους τοῦ ὁσιωτάτου καθηγουμένου καὶ τῆς κοινότητος τοῦ μοναστηρίου περὶ τῆς ἐνωτισθείσης ἡμῖν ὑποθέσεως, ὡς εἶχε τάχα δανειακῶς δεδομένα χρήματα πρὸς τὸ μοναστήριον ἢ καὶ ἄλλους τινὰς δι' ὁμολογιῶν ὁ ἐν τῷ αὐτῷ μοναστηρίῳ συνταχθεὶς τε καὶ τελευτήσας πρώην Διδυμοτοίχου μητροπολίτης, κὺρ Γρηγόριος, μετὰ τὸ παραιτηθῆναι καὶ ἀναχωρῆσαι τῆς ἐπαρχίας αὐτοῦ ἐκείνης καὶ πᾶσι τρόποις διεβεβαιώσαντο ἐν φόβῳ θεοῦ ψευδῆ τὴν φήμην ἐκείνην ὑπάρχειν καὶ μήτε δανειακὰ χρήματα ἐκείνου εἶναί που, μήτε τοιαύτας ὁμολογίας φαίνεσθαι, οὗ ἕνεκεν ἀπελύσαμεν αὐτοὺς ἀνεπηρεάστους καὶ ἀκαταζητήτους, καὶ δεδώκαμεν ἄδειαν ἀπελθεῖν εἰς τὸ μοναστήριον αὐτῶν καὶ μηδεμίαν ἐνόχλησιν ἔχειν τοὺς πατέρας τοῦ λοιποῦ περὶ τῆς τοιαύτης ὑποθέσεως. ἐπὶ τούτοις μέντοι ἀνήγγειλαν ἡμῖν οἱ πατέρες τοῦ αὐτοῦ μοναστηρίου, ὅτι τινὲς τῶν παρῃτημένων ἀρχιερέων δι' εὐλάβειαν καὶ ἡσυχίαν παραγενόμενοι προσκληροῦνται τῷ αὐτῷ μοναστηρίῳ, κἀν τῷ ἀποθνήσκειν ἐκείνους ἕπεται κατὰ τὴν συμβᾶσαν ταύτην ὑπόθεσιν ἐπηρεάζεσθαι τὸ μοναστήριον κατὰ καιροὺς ἀπαιτούμενον περιουσίας ἐκείνων ὑπὸ τῶν προϊσταμένων τηνικαῦτα τοῦ καθ' ἡμᾶς πατριαρχικοῦ καὶ οἰκουμενικοῦ θρόνου, τῆς ἡμέρας δηλονότι πατριαρχῶν, καὶ μετὰ δεήσεως ἐζήτησαν γενέσθαι τρόπον τινὰ πρὸς ἀπαλλαγὴν τῆς ἐπιτρεχούσης ταύτης περιστάσεως ἢ ἐντείλασθαι ἡμᾶς δηλαδὴ ἀποσείεσθαι τὴν πρὸς τὸ μοναστήριον αὐτὸ εἰσέλευσιν καὶ μετανοίας κλίσιν τῶν τοιούτων ἀρχιερέων ἢ τύπον τινὰ παρασχεῖν, τίνι τρόπῳ διακυβερνᾶσθαι αὐτοὺς μετὰ τὴν ἑαυτῶν ἀποβίωσιν, ὅπως μὴ ἐνόχλησιν ἔχῃ τὸ μοναστήριον. καὶ οὕτως εἰς σκέψιν ὑποτεθέντος τοῦ πράγματος, τὸ μὲν ἀναχαιτίσαι καὶ ἀνακόψαι τὸν δρόμον ἐκείνων τῶν καταφευγόντων εἰς τὸν σωτήριον λιμένα μετὰ προθυμίας καὶ εὐλαβείας ἀνεύθετον ἔδοξε καὶ σχεδὸν ἀπαίσιον· τὸ γὰρ ἐμποδίζειν τοῖς φιλοθέοις ἔργοις οὐκ ἀκίνδυνον πάντως, οὐδ' ἀκατάγνωστον μένειν πέφυκε, θάτερον δὲ τῶν προβληθέντων ἔδοξε διαιτηθῆναι συνοδικῇ ἀποφάσει κατ' εὐλογοφανῆ τρόπον καὶ δίκαιον. τούτου χάριν γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τῶν καθ' ἕκαστον καιρὸν προσερχομένων τῷ ἁγιωτάτῳ αὐτῷ μοναστηρίῳ παρῃτημένων ἀρχιερέων τῶν ἰδίων ἐπαρχιῶν καὶ τιθεμένων μετάνοιαν ἐπὶ τὸ ἡσυχάζειν καὶ παραμένειν μέχρι τέλους τῆς ζωῆς αὐτῶν ἐφέσει τῆς εἰρηναίας ἀναστροφῆς καὶ σωτηριώδους ἕκαστος ἔχῃ διὰ φροντίδος διαθήκην ἔγγραφον ποιῆσαι καὶ διάταξιν τῶν ὅσα προαιρεῖται γενέσθαι

μετὰ τὴν ἀποβίωσιν αὐτοῦ ἐν τοῖς ἰδίοις πεκουλίοις καὶ ταῖς εὑρισκομέναις παρ᾽ αὐτοῖς περιουσίαις ζῶν ἔτι καὶ ὑγιῶς τὰς φρένας ἔχων κατὰ τὰς τετυπωμένας παρὰ τοῖς ἱεροῖς νόμοις περιστάσεις, καταλεγόμενος ἕκαστα καὶ διορίζων τὰς ἐλεημοσύνας αὐτοῦ καὶ τὰ ὅσα οἰκονομεῖ ὑπὲρ ψυχικῆς αὐτοῦ σωτηρίας, ἐν οἷς ὀφείλει πρὸ πάντων διορίζειν μέρος τι ἁρμόδιον λεγάτου λόγῳ ἀποδίδοσθαι πρὸς τὴν καθ᾽ ἡμᾶς τοῦ Χριστοῦ μεγάλην ἐκκλησίαν, τὴν μητέρα καὶ εὐεργέτιδα αὐτοῦ, ἐξ ἧς λαβὼν ἔσχε καὶ τὴν ἀξίαν καὶ τὴν τιμὴν καὶ τὴν κτῆσιν τῆς περιουσίας καὶ μετὰ ταῦτα τὰ λοιπὰ πάντα διατάττεσθαι, κἀντεῦθεν πᾶσα ἡ τοιαύτη διαθήκη ἐκείνη τῶν πρὸς κύριον ἐκδημούντων ἀρχιερέων ἔχῃ τὸ κῦρος καὶ τὴν ἰσχὺν καὶ τὸ ἀμετάτρεπτον καὶ τὸ ἀμετάθετον, τὸ δὲ μοναστήριον διαμένῃ ἀνενόχλητον καὶ ἀνεπηρέαστον καὶ μηδὲν ἔχῃ περαιτέρω ζητεῖν τὴν καθ᾽ ἡμᾶς τοῦ Χριστοῦ μεγάλην ἐκκλησίαν παρὰ τὸ διορισθὲν ἐκεῖνο καὶ διαταχθὲν ἐν τῇ διαθήκῃ τοῦ τελευτήσαντος ἀρχιερέως, ὅπερ καὶ θεῷ καὶ ἀνθρώποις ἐστὶν ἀρεστὸν καὶ ἀνώτερον πλεονεξίας τινὸς καὶ ἀδιακρισίας. ὃς δ᾽ ἂν ὀψέ ποτε κακονοίᾳ τινὶ διανοηθῇ ἀθετῆσαι τὰ ἐν τῷ παρόντι γεγραμμένα καὶ πλεονέκτιδι χειρὶ ἀδικῆσαι καὶ συνταράξαι τὸ μοναστήριον, ὁποίας ὢν τάξεως καὶ ὁποίου βαθμοῦ, ἀφωρισμένος εἴη ἀπὸ θεοῦ καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ ἄλυτος μετὰ θάνατον καὶ ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπόδικος. ὅθεν εἰς ἔνδειξιν καὶ ἀσφάλειαν ἀπελύθη τὸ παρὸν πατριαρχικὸν γράμμα. ͵αχϟε΄, ἐν μηνὶ ἰουλίῳ, ἰνδικτιῶνος γ΄. †

| | |
|---|---|
| † Ὁ Ἐφέσου Ἀθανάσιος. † | † Ὁ Λαρίσσης Παρθένιος. † |
| † Ὁ Ἡρακλείας Βαρθολομαῖος. † | † Ὁ . . . . . . . . . . . . † |
| † Ὁ Σερρῶν Κύριλλος. † | † Ὁ Δράμας . . . . . . . † |
| † Ὁ Νικομηδείας Παρθένιος. † | † Ὁ . . . . . . . . . . . . † |
| † Ὁ . . . . . . . . . . † | |

" *Archetyp. Flor. II. nro 47, quod haec habet:* Συμβέβηκε ἀποβιώσαντος τοῦ Διδυμοτοίχου Γρηγορίου ἐν τῇ μονῇ (*1693*, ὡς ἔστιν ἰδεῖν ἐπὶ τοῦ τάφου αὐτοῦ ἔτι νῦν σωζομένου ἀριστερόθεν τῆς εἰσόδου εἰς τὴν αὐλὴν τῆς μονῆς), προσκληθῆναι ὑπὸ τῆς ἐκκλησίας τὸν καθηγούμενον τοῦ δοῦναι λόγον περὶ τῆς περιουσίας τοῦ Διδυμοτοίχου. ὁ δὲ ἀπολογησάμενος καὶ ἀθῷος εὑρεθεὶς ᾐτήσατο τὸ παρόν.

ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΨΗΦΙΟΠΟΙΗΣΗ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΙ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## CXXXVIII. 7210—1702, mense maio, ind. X.

*Patriarcha Callinicus II. et synodus vetant monachos deserere monasterium et vagari eosque, qui non paruerint iussis, excommunicant.*

† Καλλίνικος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Θεοφιλέστατοι ἀρχιεπίσκοποι, ὅ τε Σαντορίνης καὶ Σίφνου καὶ Μήλου καὶ Σάμου καὶ Κῶ, ἐν ἁγίῳ πνεύματι ἀγαπητοὶ ἡμῶν ἀδελφοὶ καὶ συλλειτουργοί, ἐντιμότατοι κληρικοί, εὐλαβέστατοι ἱερεῖς, χρήσιμοι ἄρχοντες καὶ λοιποὶ χριστιανοὶ τῶν αὐτῶν ἐπαρχιῶν, χάρις εἴη ὑμῖν καὶ εἰρήνη παρὰ θεοῦ. ὁ ὁσιώτατος καθηγούμενος τῆς ἐν τῇ νήσῳ Πάτμῳ σεβασμίας βασιλικῆς, πατριαρχικῆς, σταυροπηγιακῆς μονῆς τοῦ ἁγίου, ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου ἀνήγγειλεν ἡμῖν, ὅτι τινὲς τῶν ἀπὸ τοῦ αὐτοῦ μοναστηρίου πατέρων παραβλέποντες καὶ παραβαίνοντες τοὺς κανονικοὺς ὅρους καὶ τύπους τῆς μοναδικῆς εὐλαβείας καὶ πολιτείας ἀποτολμῶσι καταλιμπάνειν τὴν μετάνοιαν αὐτῶν καὶ ἀναχωρεῖν καὶ ἐξέρχεσθαι τοῦ μοναστηρίου, ἐν ᾧ ἐκληρώθησαν καὶ ὑπετάγησαν, διατρίβοντες ἔνθεν κἀκεῖθεν, ὡς ἀνευλαβεῖς καὶ ἀναίσχυντοι ἀποστάται καὶ καταφρονηταὶ γενόμενοι τοῦ ἅπαξ γεγονότος αὐτοῖς ἐνδιαιτήματος καὶ ἀνάξια μετερχόμενοι ἐπιχειρήματα καὶ ἀλλότρια τῆς μοναδικῆς καταστάσεως. τούτου χάριν γράφομεν καὶ ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα οἱ ἀναχωρήσαντες τοῦ ἱεροῦ καὶ σεβασμίου μοναστηρίου ἀπὸ τῆς νήσου Πάτμου καὶ εἰς τὰ αὐτόθι διατρίβοντες κακηγκάκως, ἐὰν μὴ ἐπιστραφῶσι καὶ ἐπανέλθωσιν εἰς τὸ αὐτὸ μοναστήριον, ὅθεν ἐξέβησαν, καὶ εἰς τὴν μετάνοιαν αὐτῶν, ἱερομόναχοι μὲν ὄντες καὶ ἱεροδιάκονοι ἀργοὶ ὑπάρχωσι πάσης ἱερατικῆς ἐνεργείας καὶ τάξεως καὶ ἐστερημένοι παντὸς ἐκκλησιαστικοῦ εἰσοδήματος, καταφρονοῦντες δὲ τῆς ἀργίας καὶ ἀφωρισμένοι παρὰ θεοῦ, ὡς τῇ παντελεῖ καθαιρέσει ὑπόδικοι, ἰδιῶται δὲ καὶ μοναχοὶ ἀφωρισμένοι ἀπὸ θεοῦ καὶ κατηραμένοι καὶ ἀσυγχώρητοι καὶ ἄλυτοι μετὰ θάνατον καὶ ἔξω τῆς ἐκκλησίας Χριστοῦ, καὶ μηδεὶς τολμήσῃ συναναστραφῆναι αὐτοῖς ἢ περιποιηθῆναι ἢ συνομιλῆσαι ἢ ἐλεημοσύνην τινὰ δοῦναι ἢ ἐν τῇ κατοικίᾳ αὐτοῦ ἀποδεχθῆναι ἢ συνδραμεῖν κατά τι λόγῳ ἢ ἔργῳ, ἅτε ἀποστάταις καὶ ἀπατεῶσι καὶ καταψευδομένοις ἐνώπιον θεοῦ καὶ ἀνθρώπων. οὕτω γενέσθω ἐξ ἀποφάσεως καὶ μὴ ἄλλως ἐν βάρει ἀργίας καὶ ἀλύτου ἀφορισμοῦ. ,αψβ΄. ἐν μηνὶ μαΐῳ, ἰνδικτιῶνος ι΄. †

† Ὁ Καισαρείας Ἄνθιμος. †
† Ὁ Νικομηδείας Παρθένιος. †
† Ὁ Σερρῶν Ἄνθιμος. †
† Ὁ . . . . . . . . . †

† Ὁ Χαλκηδόνος Ἰωσήφ. †
† Ὁ Ἀγχιάλου Μακάριος. †
† Ὁ Κρήτης Κύριλλος. †
† Ὁ Ῥόδου . . . . †

*Archetyp. Flor. II. nro 58.*

## CXXXIX. [7223—1715], mense maio, ind. VIII.

*Patriarcha Cosmas II. et synodus confirmant donationem, quam monasterio fecit Cyrillus, archiepiscopus Coi.*

† **Κοσμᾶς, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.** †

† Τὰ φιλευσεβῶς καὶ φιλοθέως τοῖς ἀνθρώποις διενεργούμενα ἀποδοχῆς πάσης ὄντα ἐπάξια συνιστᾶν καὶ κρατύνειν ἀπαραιτήτως ὀφείλομεν καὶ γράμμασι πατριαρχικοῖς κατοχυροῦν καὶ ἐμπεδοῦν ἐκεῖνα πρὸς διηνεκῆ τὴν ἀσφάλειαν, μάλιστα δὲ πάντων, ὅσα οἱ φιλευσεβεῖς καὶ φιλόχριστοι διεγηγερμένῃ ψυχῇ καὶ ἔρωτι τῷ πρὸς θεὸν κινηθέντες ἱεροῖς ναοῖς καὶ σεπτοῖς οἴκοις φιλοθέῳ γνώμῃ ἀνέθεντο καὶ ἀφιέρωσαν εἰς δόξαν θεοῦ καὶ διηνεκὲς αὐτῶν μνημόσυνον· συστάσεως γὰρ τῆς τῶν γραμμάτων ἐξαιρέτως χρῄζουσι τὰ τοιαῦτα καὶ ἀσφαλείας, ἵνα μήτε ὑπὸ τοῦ χρόνου λήθης βυθοῖς παραδοθέντα τῆς μνήμης ἐκπέσωσιν, ἀλλὰ καὶ τοῖς μεταγενεστέροις μίμησις εἴη τοῦ καλοῦ καὶ τῆς περὶ τὰ θεῖα εὐλαβείας. ἐπειδὴ τοιγαροῦν καὶ ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Κῶ, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργός, κῦρ Κύριλλος, ἔρωτι θείῳ καὶ ζήλῳ κινούμενος, θερμῇ τε καὶ διαπύρῳ εὐλαβείᾳ πυρπολούμενος περὶ τὴν ἱερὰν καὶ σεβασμίαν μονὴν τοῦ ἁγίου, ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου τὴν ἐν τῇ νήσῳ Πάτμῳ, τοῦτο μὲν διὰ τὸ φιλευσεβὲς καὶ φιλόθεον τῆς γνώμης αὐτοῦ, τοῦτο δὲ καὶ διότι ἐκ νεότητος ἔθετο ἐν αὐτῷ τὴν μετάνοιαν αὐτοῦ, κἀκεῖσε τὸ θεῖον ἀξίωμα τῆς ἱερωσύνης ἐδέξατο καὶ διέτριψεν ἱκανοὺς χρόνους τραφείς τε καὶ παιδευθεὶς τοῖς προσήκουσι τῷ ἱερατικῷ ἐπαγγέλματι ἤθεσιν, ἐφ' οἷς εὐγνωμόνως πρὸς τὴν ἱερὰν ταύτην μονὴν φερόμενος προσήλωσε καὶ ἀφιέρωσεν αὐτῇ πράγματα καὶ κτήματα ἴδια, ἱερά τε ἄμφια καὶ σεπτὰ ἀναθήματα πρὸς μερικὴν περίθαλψιν καὶ κυβέρνησιν τῶν ἐνασκουμένων αὐτῇ πατέρων καὶ εἰς μνημόσυνον αἰώνιον αὐτοῦ, ἅτινά εἰσι ταῦτα· ἀμπέλιον, ὅπερ ἠγόρασε δι' οἰκείων χρημάτων ἔχον φυτὰ χιλιάδας εἴκοσι καὶ φρέατα ἐντὸς πέντε, ἔχει δὲ καὶ δύο πύργους σὺν τοῖς κάτωθεν μαγαζείοις αὐτῶν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ Ε.Γ.Δ. της Κ.Θ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἕτερον ἀμπέλιον εἰς τὸ Ἀσφενδίου, ἰδιόκτητον κἀκεῖνο καὶ ἀφιερωθὲν τῷ ἱερῷ τούτῳ μοναστηρίῳ. τὰ δὲ ἱερὰ ἄμφια εἰσὶ ταῦτα· σάκκοι πέντε χρυσοῖ. στοιχάρια πέντε, ὧν τὰ δύο εἰσὶ χρυσᾶ, φαινόλια πέντε. σταυροὶ ἐγκωμιασμένοι πέντε. ἀὴρ διὰ μαγκάνου εἷς. ἀντιμίσιον ἕν. ἐπιτραχήλιον ἕν. μία ποδία καὶ εἷς μανδύας καμουχένιος. ἓν τρικέριον τιμῆς γροσίων πεντήκοντα πέντε. καὶ μία πατερίτζα. ταῦτα οὖν πάντα προσηλώσας καὶ ἀφιερώσας τῇ σεβασμίᾳ μονῇ ταύτῃ ἠξίωσε καὶ τὴν ἡμῶν μετριότητα ἐπιβεβαιῶσαι τὴν ἀσφάλειαν αὐτῶν καὶ δι' ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ γράμματος, οὗ τὴν αἴτησιν ὡς εὔλογον καὶ δικαίαν καὶ πρὸς θεοφιλῆ ἀφορῶσαν σκοπὸν εὐμενῶς λίαν ἀποδεξάμενοι γράφοντες διὰ τοῦ παρόντος ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὰ διαληφθέντα πάντα πράγματα καὶ κτήματα καὶ ἱερὰ σκεύη, ὅσα ἀνωτέρω ἀπηριθμήθη, ἅπερ ὁ διαληφθεὶς θεοφιλέστατος ἀρχιεπίσκοπος **Κῶ**, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργός, κὺρ **Κύριλλος**, ἰδίᾳ βουλῇ καὶ γνώμῃ προσήλωσε καὶ ἀφιέρωσε τῇ σεβασμίᾳ βασιλικῇ καὶ σταυροπηγιακῇ μονῇ τοῦ ἁγίου, ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου ἐπὶ τῷ μένειν καὶ σώζεσθαι διηνεκῶς ἐν αὐτῇ πρὸς μερικὴν περίθαλψιν τῶν ἐνασκουμένων μοναχῶν καὶ διηνεκὲς αὐτοῦ μνημόσυνον ὑπάρχωσι καὶ μένωσιν εἰς αἰῶνα τὸν ἅπαντα ἀναφαίρετα καὶ ἀναπόσπαστα . . . . . . . . . . . . . . . . . . . . . . . . . ὡς σταυροπηγιακὰ μηδενὸς τολμῶντος κατακ . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . τὴν ἀποσπα . . . . . . . . . . . . . . . . . . . . . . . . . ὑπὸ τὴν ἐξουσίαν καὶ ἐπικράτειαν τοῦ αὐτοῦ μοναστηρίου καὶ τῶν ἐνασκουμένων ἀδ[ελφῶν] . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . ὃς δ' ἄν τις ὀψέ ποτε βουληθῇ . . . . . . . . . . . . . ξενῶσαι αὐτὰ τοῦ ἱεροῦ τούτου μοναστηρίου, ὁ τοιοῦτος ἱερεὺς μὲν ὢν ἀργὸς ἔστω πάσης ἱεροπραξίας καὶ ἐστερημένος παντὸς ἐκκλ[ησιαστικοῦ . . . . ἀφω]ρισμένος ἀπὸ θεοῦ καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ ἄλυτος μετὰ θάνατον καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικος. ὅθεν . . . . . . . . . . ἡμέτερον πατριαρχικόν, συνοδικόν, ἐκβεβαιωτήριον γράμμα καὶ ἐπεδόθη τῇ ἱερᾷ μονῇ τοῦ Θεολόγου. ἐν μηνὶ μαΐῳ, ἰνδικτιῶνος η'. †

† Ὁ . . . . . . . . . . . . †
† Ὁ Δέρκων Κύριλλος. †
† Ὁ Μιτυλήνης Νικόδημος. †
† Ὁ Νικομηδείας Παΐσιος. †
† Ὁ Κυζίκου Αὐξέντιος. †
† Ὁ . . . . . . . . . . . . †

*Archet. Flor. nro 59, quod addit:* σηῦλιον . . . ἐσχισμένον καὶ ἐφθαρμένον.